Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

---

## ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον,[1] οὗ μία φωνή,
καὶ τρίπον, ἀλλάσσει δὲ φυὴν[2] μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται[3] ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον,
ἀλλ', ὁπόταν πλείστοισιν[4] ἐρειδόμενον[5] ποσὶ βαίνῃ,
ἔνθα τάχος[6] γυίοισιν ἀμαυρότατον πέλει αὐτοῦ.

---

## ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ.[7]

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.[8]
ἄνθρωπον κατέλεξας, ὅς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων,
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

1) *τετράπον* (sic) A. L. *τέτραπον* vulg.
2) *βοὴν* A. L. G. Ald. *φύσιν* Athen.
3) *γίνηται* L. *γίνεται* G. *γείνονται* Athen.
4) *πλεόνεσσιν* J. Valck. Elmsl.
5) *ἐπειγόμενον* A. L. (*ἐπιγ.* pr. m.).
6) *μένος — ἀφαυρότερον* conj. Elmsl.
7) Aenigmatis Solutio non extat in Sophoclis exemplaribus, sed addita est ex schol. ad Eur. Phoen. 50. In margine codicis L. legitur m. rec. scriptum oraculum Cadmo datum, octodecim versus continens (*φράζου δή μοι μῦθον Ἀγήνορος ἔκγονε Κάδμε κτλ.*), quod in scholiis ad Eur. Phoen. 641 servatum est.
8) *σὸν τέλος ἀμπλακίης*] Haec non intelligo.

---